& excedunt. Idcirco quicunque præter rationem vel ſuperantur, vel aliquid ex iis quæ natura ſunt honeſta & bona, perſequuntur. vt illi qui circa honorem magis quàm oporteat,ſtudent,vel circa filios & parentes: bona enim hæc ſunt, & qui circa ea ſtudent, laudari conſueuerunt, ſed in his tamen exceſſus etiam quidam eſt, ſiquis quemadmodum Niobe aduerſus Deos pugnaret: aut erga patrem ita eſſet affectus, vt Satyrus, qui patricola appellabatur. valde enim inſanire videbatur. Nulla igitur circa hæc prauitas exiſtit ob id quod dictum eſt: propterea quòd quòd vnumquodque per ſe eſt ex iis quæ natura ſunt expetenda: praui tamen & fugiendi exceſſus ipſorum ſunt. ſimili modo quoque neque incontinentia, quippe cùm incontinentia non modo fugienda, verùm etiam ex iis, ſit, quæ vituperatione digna habentur. ex affectus tamen ſimilitudine incontinentiam adiungentes circa vnumquodque dicunt. vt malum medicum, malum hiſtrionem, quem abſolutè malum nullo modo vocarent. Quemadmodum itaque neque hic propterea quòd vnumquodque ipſorum nõ vitium, ſed proportione ſimile eſt: ita videlicet etiam illic exiſtimandum eſt incontinentiam & continentiam eam duntaxat eſſe, quæ circa eadem, circa quæ temperantia verſatur, & intemperantia. nam circa iram per ſimilitudinem dicimus: vnde etiam addentes iræ incontinentem, ſicut honoris,& lucri appellamus. Cùm autem nonnulla iucunda natura ſint, atque ex his alia abſolutè ac ſimpliciter, alia pro generibus animalium atque hominum: nonnulla verò non natura, ſed partim ex læſionibus, partim ex conſuetudine, partim etiam ob naturas prauas huiuſmodi ſint:circa quoque horum ſingula inſpicere ſimiles habitus poſſumus. Dico autem ferinos: cuiuſmodi erat ea mulier, quam grauidarum ventres reſcindere, atq.inde fœtus comedere cõſueuiſſe inquiunt: vel ea,quibus aiunt quaſdã efferatas circa Põtũ nationes oblectari. alios.n.crudis,alios humanis carnibus veſci,alios ſibi inuicem infantes ad epulandũ mutuare perhibẽt, vel quod de Phalaride dicitur.Atq.hi quidem ferini habitus ſunt.alij verò nonnullis ex morbo & inſania contingunt: vt illi,qui matrem mactauit, & in cibum ſumpſit:qui item conſerui iecur comedit. alij item morboſi ſunt, vel ex conſuetudine: vt pilorũ euulſiones,vnguiũ roſiones,carbonũ etiã & terræ comeſtiones:præterea venereorũ vſus cũ maribus:id quod tum natura,

A καὶ ὑπερβάλλειν· διὸ, ὅσοι μὲν παρὰ τὸν λόγον ἢ κρατοῦνται, ἢ διώκουσι τῶν φύσει τι καλῶν καὶ ἀγαθῶν, οἷον οἱ περὶ τιμὴν καὶ μᾶλλον ἢ δεῖ σπουδάζοντες, ἢ περὶ τέκνα καὶ γονεῖς· καὶ γὰρ ταῦτα, τῶν ἀγαθῶν· καὶ ἐπαινοῦνται οἱ περὶ ταῦτα σπουδάζοντες· ἀλλ' ὅμως ἔστι τις ὑπερβολὴ καὶ ἐν τούτοις, εἴ τις ὥσπερ ἡ Νιόβη μάχοιτο καὶ πρὸς τοὺς θεούς· ἢ ὥσπερ Σάτυρος ὁ Φιλοπάτωρ ἐπικαλούμενος περὶ B τὸν πατέρα· λίαν γὰρ ἐδόκει μωραίνειν· μοχθηρία μὲν οὖν οὐδεμία περὶ ταῦτ' ἐστὶ, διὰ τὸ εἰρημένον, ὅτι φύσει τῶν αἱρετῶν ἕκαστόν ἐστι δι' αὑτό· φαῦλαι δὲ καὶ φευκταὶ αὐτῶν εἰσιν αἱ ὑπερβολαί. ὁμοίως δὲ, οὐδ' ἀκρασία· ἡ γὰρ ἀκρασία, οὐ μόνον φευκτὸν, ἀλλὰ καὶ τῶν ψεκτῶν ἐστι· δι' ὁμοιότητα δὲ τοῦ πάθους προσεπιτιθέντες τὴν ἀκρασίαν, περὶ ἑκάστου λέγουσιν, οἷον κακὸν ἰατρὸν, καὶ κακὸν ὑποκριτὴν, C ὃν ἁπλῶς οὐκ ἂν εἴποιεν κακόν· ὥσπερ οὖν οὐδ' ἐνταῦθα, διὰ τὸ μὴ κακίαν εἶναι ἑκάστην αὐτῶν, ἀλλὰ τῷ ἀνάλογον ὁμοίαν· οὕτω δηλονότι κἀκεῖ ὑποληπτέον μόνον ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι, ἥτις ἐστὶ περὶ τὰ αὐτὰ τῇ σωφροσύνῃ καὶ τῇ ἀκολασίᾳ, περὶ δὲ θυμὸν, καθ' ὁμοιότητα λέγομεν· διὸ καὶ προστιθέντες ἀκρατῆ θυμοῦ, ὥσπερ τιμῆς καὶ κέρδους φα- D μέν. Ἐπεὶ δ' ἐστὶν, ἔνια μὲν, ἡδέα φύσει· καὶ τούτων, τὰ μὲν, ἁπλῶς· τὰ δὲ, κατὰ γένη καὶ ζώων καὶ ἀνθρώπων· τὰ δ', οὐκ ἔστιν· ἀλλὰ, τὰ μὲν, διὰ πηρώσεις· τὰ δὲ, δι' ἔθη γίνεται· τὰ δὲ, διὰ μοχθηρὰς φύσεις, ἔστι καὶ περὶ τούτων ἕκαστα παραπλησίας ἰδεῖν ἕξεις· λέγω δὲ τὰς θηριώδεις, οἷον τὴν ἄνθρωπον, ἣν λέγουσι τὰς κυούσας ἀνασχίζουσαν, τὰ παιδία κα- E τεσθίειν· ἢ οἵοις φασὶ χαίρειν ἐνίους τῶν ἀπηγριωμένων περὶ τὸν Πόντον, τοὺς μὲν, ὠμοῖς· τοὺς δὲ, κρέασιν ἀνθρώπων· τοῖς δὲ, τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν· ἢ τὸ περὶ Φάλαριν λεγόμενον· αὗται μὲν, θηριώδεις· αἱ δὲ, διά τε νόσους γίνονται καὶ μανίαν ἐνίοις· ὥσπερ ὁ τὴν μητέρα καθιερεύσας, καὶ φαγών· καὶ ὁ τοῦ συνδούλου τὸ F ἧπαρ. αἱ δὲ, νοσηματώδεις, ἢ ἐξ ἔθους· οἷον, αἱ τῶν τριχῶν τίλσεις, καὶ ὀνύχων τρώξεις· ἔτι δ', ἀνθράκων, καὶ γῆς· πρὸς δὲ τούτοις, ἡ τῶν ἀφροδισίων τοῖς ἄρρεσι· τοῖς μὲν γὰρ, φύσει· τοῖς δ', ἐξ ἔθους συμβαίνουσιν.